# TEZAUR LITURGIC

**6/7 DECEMBRIE**

**IACOB GRIGORIATUL**

# PARACLISUL

## SF.IERARH

# NICOLAE,

## ARHIEPISCOPUL
## MIRELOR LICHIEI

*

## SF.CUVIOS

# GRIGORIE

## DE LA GRIGORIU-ATHOS

# II

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# Παράκλησις ἁγ. ΝΙΚΟΛΑΟΥ Μύρων καί ὁσ. ΓΡΗΓΟΡΙΟΥ, ψαλλομένη ἐν τῇ Μ. Γρηγορίου

## Ποίημα Ιακώβου Γρηγοριάτου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ’ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ τῶν Μυρέων Ἱεράρχῃ προσπέσωμεν, καὶ Γρηγορίῳ τῆς Μονῆς τῷ δομήτορι, ἀπὸ βαθέων κράζοντες ψυχῆς πρὸς αὐτούς· Ἅγιε Νικόλαε, καὶ Γρηγόριε μάκαρ, πρεσβευταὶ θερμότατοι ἀπὸ πάσης ἀνάγκης, καὶ δυσωδίας ῥύσατε παθῶν, τοὺς μετὰ πόθου, ὑμᾶς νῦν γεραίροντας.

Δόξα, ὅμοιον.

Ὡς Ἱερεὺς καὶ μιμητὴς τοῦ Δεσπότου, καὶ χορηγὸς τῶν δωρεῶν τῶν ἐκεῖθεν, ταῖς πρὸς Θεὸν πρεσβείαις σου προφθάνεις ἀεί, πάντας τοὺς προστρέχοντας, τῷ ἁγίῳ ναῷ σου, καὶ πιστῶς προσπίπτοντας, τῇ ἁγίᾳ σοῦ σκέπῃ, σὺν Γρηγορίῳ ῥύσατε ἡμᾶς, ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε…

ὉΝ΄Ψαλμός.

Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχὶς. *Τὸν Νικόλαον σὺν Γρηγορίῳ μέλπω. Ἰακώβου.*

Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.

Τὸν μέγαν Νικόλαον ἀδελφοί, σὺν τῷ Γρηγορίῳ, εὐφημήσωμεν ἐν ᾠδαῖς, προστάτας μονῆς ἡμῶν ὡς ὄντας, ὅπως ταῖς τούτων πρεσβείαις. σωθείημεν.

Ὁ Μύρων ποιμήν τε καὶ λειτουργός, Νικόλαε μάκαρ, καὶ Γρηγόριε ἱερέ, λυτρώσατε πάσης ἐπηρείας, τοὺς τὴν ὑμῶν προσκαλοῦντας ἀντίληψιν.

Νικόλαε μάκαρ καὶ ἱερέ, Γρηγόριε πάτερ, οἱ προστάται μονῆς ἡμῶν, ἀπήμονα ταύτῃ ἐκ παντοίων, ἐπηρειῶν τοῦ δολίου τηρήσατε.

Θεοτοκίον.

Νεφέλη θεόδροσε Μαριάμ, τὴν ποίμνην Σου ταύτην, διαφύλαξον ἀσινῆ· σὺν Ἀναστασίᾳ δυσωποῦσα, τὸν Σὸν Υἱὸν τοῦ εὑρεῖν ἡμᾶς ἔλεος.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἱκετεύομεν μάκαρ, τὰ τῆς ψυχῆς ἴασαι, πάθη καὶ τοῦ σώματος Πάτερ, σοφὲ Νικόλαε, καὶ συμπαράλαβε, πρέσβυν Γρηγόριον ὅπως, βλάβης ἡμᾶς ῥύσασθε τοῦ πολεμήτορος.

Καταπλήττει νοῦν πάντα, σοῦ ἡ ὀσμὴ πάνσοφε, μύρων ὦ Νικόλαε μάκαρ καθώσπερ γέγραπται· σοῦ δὲ Γρηγόριε, ὁ χαρακτὴρ ἐκδιώκει, πάθη χαλεπώτατα· ὅθεν τιμῶμεν ὑμᾶς.

Ὁδηγοὺς καὶ προστάτας, πρὸς τὸν Θεὸν ἔνδοξοι, πάντες προβαλλόμεθα πόθῳ καὶ ἱκετεύομεν, νόσων καὶ θλίψεων, καὶ δυσμενῶν ἐπηρείας, ποίμνην διασώσατε τὴν εὐφημοῦσαν ὑμᾶς.

Θεοτοκίον.

Λαμπομένη τῇ αἴγλῃ, τῆς τριλαμποῦς χάριτος, Μάρτυς ἀναστάσεως θείας οὖσα ἐπώνυμος, τοὺς προσκυνοῦντάς σου, κόνιν τῶν θείων λειψάνων, σὺν τῇ Θεομήτορι σῶζε πρεσβείαις σου.

Διάσωσον, ἀπὸ κινδύνων δυὰς ἁγία σοὺς δούλους, ὦ Νικόλαε Γρηγόριε θεῖοι, καὶ ῥύσασθε ἀπὸ πάσης τοῦ ἀλάστορος βλάβης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβείαις ὑμῶν, ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦντες ἀεὶ οἱ πόθῳ καταφεύγοντες, τῇ σκέπῃ ὑμῶν ἐκτενῶς δεόμεθα, Νικόλαε μάκαρ σὺν Γρηγορίῳ σπεύσατε, καὶ ἐκ κινδύνων ῥύσασθε ὑμᾶς, τῶν τὸν πάντων Δεσπότην ἱλεούμενοι.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἀπὸ πάντων Νικόλαε, λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας, τὸν Γρηγόριον συνήγορον, ἔχων δυσωποῦντες τὸν Φιλάνθρωπον.

Ὁ ναός σου Νικόλαε, βρύει τὰς ἰάσεις, πᾶσι τοῖς χρήζουσι, τὸ σὸν ἄντρον δὲ Γρηγόριε, μαρτυρεῖ ἀγῶνάς σου καὶ σκάμματα.

Νοσημάτων Νικόλαε, καὶ θαλάσσης κλύδωνος ἐλευθέρωσον, τοὺς καλοῦντάς σου τὸ ὄνομα, ἅμα Γρηγορίῳ τῷ δομήτορι.

Θεοτοκίον.

Τῆς Μητρὸς ταῖς δεήσεσι, καὶ Ἀναστασίας Κύριε δώρησαι, τοῖς ἱκέταις Σου τὴν ἄφεσιν, τῶν πλημμελημάτων Ὑπεράγαθε.

Ὠδὴ ε΄. Ἵνα τι μὲ ἀπώσω.

Ὕμνον δέχου ἐκ πόθου, τὸν σοι προσφερόμενον δυὰς πανάριστε, τῆς μονῆς προστάται, ὦ Νικόλαε, μάκαρ Γρηγόριε, καὶ παντὸς κινδύνου, διασωθῆναι δυσωπεῖτε, τοὺς ὑμᾶς ἐπαξίως γεραίροντας.

Νικολάου τοῦ θείου, ταῖς πανευπροσδέκτοις Οἰκτίρμον δεήσεσι, καὶ τοῦ Γρηγορίου, τῆς γεέννης τοὺς δούλους Σου λύτρωσαι, καὶ τῆς Βασιλείας τῶν Οὐρανῶν ἀξιωθῆναι, καταξίωσον μόνε Φιλάνθρωπε.

Γρηγορίου πρεσβείαις, τῆς μονῆς δομήτορος εὔσπλαγχνε Κύριε, καὶ τοῦ Νικολάου, τὴν Σὴν ποίμνην κινδύνων διάσῳζε, ὅπως Σὲ ὑμνοῦμεν,

ἀκαταπαύστως τὸν Δεσπότην, ταῖς αὐτῶν ἱκεσίαις σῳζόμενοι.

Θεοτοκίον.

Ῥεῖθρα βρύει θαυμάτων, θήκη τῶν λειψάνων σου Σεμνὴ τοῖς χρήζουσιν, ὦ Ἀναστασία, ὁσιόαθλε Ῥώμης τὸ βλάστημα· ὅθεν σὲ τιμῶμεν, καὶ δυσωποῦμεν τοῦ πρεσβεύειν, σὺν Μητρὶ τοῦ Θεοῦ ὑπὲρ πάντων ἡμῶν.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἡ ποίμνη σου, ἱερὲ Νικόλαε, ἡ πλουτοῦσά σου τὴν κλῆσιν δὲ πάλιν, αὕτη μονή, ὦ Γρηγόριε πάτερ, ὑμᾶς τιμᾷ ἐξαιρέτως πανόλβιοι, φρουρήσατε τοίνυν αὐτήν, ἀπὸ βλάβης παντοίας ἀπήμονα.

Γεραίρομεν, κατὰ χρέος Πατέρες, ὡς προστάτας καὶ φρουροὺς ἡμῶν ὄντας, δυὰς σεπτή, ὦ Νικόλαε μάκαρ, καὶ τῆς μονῆς, ὦ δομῆτορ Γρηγόριε, καὶ πόθῳ μνήμην τὴν ὑμῶν, ἐκτελοῦντες ἐν ὕμνοις γηθόμενοι.

Ὁ ἕτοιμος, βοηθὸς ἐν ἀνάγκαις, ἰατρός τε τὸν ἐν νόσοις ποικίλαις, θεραπευτής, πάσης ἄλλης τε νόσου, νῦν ἐπαξίως τιμάσθω Νικόλαος, Γρηγόριός τε ὁ σοφός, σὺν αὐτῷ κατὰ χρέος ὑμνήσθωσαν.

Θεοτοκίον.

Ῥᾳθύμως μου τὴν ζωὴν διανύω, καὶ κρατοῦμαι νυσταγμῷ ἀμελείας, Μήτηρ Θεοῦ, διανάστησον ὅπως, μὴ ἀφυπνώσω Παρθένε εἰς θάνατον, Ἀναστασίαν τὴν σεμνήν, πρεσβευτήν Σου θερμὴν προβαλλόμενος.

Διάσωσον, δυὰς ἁγία σοὺς δούλους, ταῖς τῶν μύρων δαψιλέσιν ἀρδείαις ὑμῶν, καὶ ῥύσασθαι ποίμνην ὑμῶν, ἐκ παντοίας δυσμενῶν ἐπηρείας.

Ἄχραντε, ἡ διαλόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.

Ἱεράρχα Χριστοῦ Νικόλαε πανόλβιε, καὶ Ὁσίων κρηπὶς ἀοίδιμε Γρηγόριε, οἱ μονὴν ὑμῶν προστατεύοντες θερμῶς, ἐκλυτρώσατε ἡμᾶς ἐκ παντοίων δεινῶν, παῤῥησίαν ὡς ἔχοντες, σπεύσατε ἐν ἀνάγκαις, ῥύσασθε ἐκ κινδύνων, τῶν συνεχόντων νῦν ἡμᾶς, ἵνα πόθῳ ὑμᾶς καταγεραίρομεν.

Προκείμενον. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

*Στ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (ς'. 17-23):

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...

Δόξα. Ταῖς τῶν Σῶν Ὁσίων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ. *Ἐλέησόν με ὁ Θεός...*

Μέγαν ἀντιλήπτορα, σὲ κεκτημένη καυχᾶται, ἱερὲ Νικόλαε, ἡ μονή σου ἔχουσα θεῖον οἶκόν σου, καὶ

πιστῶς ἄσμασι, τὴν σεπτὴν κάραν σου, καταστέφει καὶ γεραίρει σου, εἰκόνα πάντιμον, καὶ τὴν εὐλογίαν πορίζεται, ἄνωθεν καταβαίνουσαν, διὰ τὴν πρὸς σὲ πίστιν μέγιστε· σὺν τῷ Γρηγορίῳ, δομήτορι μονῆς ὑπὲρ ἡμῶν, τὸν Λυτρωτὴν ἱκετεύσατε, εὑρεῖν ἡμᾶς ἔλεος.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν ἡμῖν αἰτήσασθε, δυὰς μονῆς προστάται, Νικόλαε τρισμάκαρ, καὶ Γρηγόριε Ὅσιε· ἵνα ὑμνῶμεν ὑμᾶς, ὡς φύλακας ἀγρύπνους.

Ὡς ποιμένα καὶ ῥύστην, ἐκ Θεοῦ εὑραμένη σοφὲ ἡ ποίμνη σου, κατέχει τὸν ναόν σου, ἰάσεων ταμεῖον, τοῖς προστρέχουσι πάντοτε, σὺν Γρηγορίῳ δυσώπει ἐλεηθῆναι ἡμᾶς.

Μετ᾽ Ἀγγέλων χορεύων, ἐν ὑψίστοις τρισμάκαρ, σοφὲ Νικόλαε, σὺν θείῳ Γρηγορίῳ, λυτρώσατε κινδύνων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἐλεήμονα Λόγον, ὡς τεκοῦσα Παρθένε, Αὐτὸν δυσώπησον, σὺν τῇ Ἀναστασίᾳ παντοίων ἀλγηδόνων, ἀπαλλάξαι τοὺς πίστει, μελῳδοῦντας καὶ ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Λιταῖς σου μάκαρ, τὰς τῶν ψυχῶν ἀῤῥωστείας, καὶ τῶν σωμάτων Νικόλαε σὺν ἅμα, θείῳ Γρηγορίῳ, ἰάσασθαι σῶν δούλων.

Πάθη ψυχῆς μου, δυὰς ἱερωτάτη, ὑμῶν πρεσβείαις ἰάσασθαι ἐν τάχει, ὅπως ὑμῶν χάριν, γεραίρω εἰς αἰῶνας.

Ὡς τῆς Τριάδος, θεράποντας τιμῶμεν, δυὰς ἁγία Νικόλαε σὺν θείῳ, σοφῷ Γρηγορίω, πρέσβεις ἡμῶν πλουτοῦντες.

Θεοτοκίον.

Ἵνα Σε πάντες, ἀκαταπαύστως ὑμνῶμεν, Παρθενομῆτορ, τὸν Υἱόν Σου δυσώπει, σὺν Ἀναστασίᾳ, ὑπὲρ ἡμῶν Σῶν δούλων.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἀγάλλου Γρηγορίου σεπτὴ μονή, ἡ πλουτοῦσα προστάτας ἐφόρους τε, τοὺς σοὺς κλεινούς, μέγαν Ἱεράρχην θαυματουργόν, τὸν ἱερὸν Νικόλαον, θεῖόν τε Γρηγόριον τὸν σοφόν, οἳ πάντοτε Κυρίῳ, πρεσβεύουσιν ἀπαύστως, συντηρηθήναι αὐτὴν ἄτρωτον.

Ὢ θεία καὶ πανσέβαστε ξυνωρίς, οἱ μονῆς τῆς ἡμῶν προστατεύοντες, δυὰς σεπτή, πάνσοφε Νικόλαε θαυμαστέ, καὶ ἱερὲ Γρηγόριε, δέησιν ποιήσατε πρὸς Θεόν, συγχώρησιν δοθῆναι, ἡμῖν τοῖς μετὰ πόθου, ἀνευφημοῦσιν ὑμᾶς Ἅγιοι.

Βουλὰς καὶ τὰς ἐνέδρας τῶν δυσμενῶν, καθ’ ἡμῶν ἅς τεκταίνουσιν Ἅγιοι, εὐχαῖς ὑμῶν, λύσατε δεόμεθα καὶ μονήν, τὴν ὑμετέραν σώσατε, πάσης περιστάσεως ἀσινῆ· Νικόλαε τρισμάκαρ, Γρηγόριε δομῆτορ, ὅπως ἀεὶ ὑμᾶς γεραίρομεν.

Θεοτοκίον.

Οὐ σθένει τὸ μυστήριον Μαριάμ, τῆς λοχείας Σου ὅλως νοῆσαι μέν, βρότειος νοῦς, ἀλλ’ οὐδ’ ὑψηλόνους ἀγγελικός, ὅτι Θεὸν ἐγέννησας, Ὅν νῦν ἐκδυσώπει ὑπὲρ ἡμῶν, σὺν τῇ Ἀναστασίᾳ, συγχώρησιν πταισμάτων, δοὐναι ἡμῖν καὶ μέγα ἔλεος.

Μεγαλυνάρια.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Δεῦτε τὴν δυάδα τὴν θαυμαστήν, τιμήσωμεν ὕμνοις, τὸν Νικόλαον τὸν σοφόν, ἅμα Γρηγορίῳ, τοὺς τῆς μονῆς προστάτας, φύλακάς τε καὶ φρουροὺς ἡμῶν ὑπάρχοντας.

Δεῦτε οἱ ἐν νόσοις παντοδαπαῖς, προσέλθετε πόθῳ, Νικολάου θείῳ ναῷ, τῆς τοῦ Γρηγορίου Μονῆς καὶ τὰς ἰάσεις, ἀρύσασθε πλουσίως αὐτοὺς γεραίροντες.

Ἔχοντες ναόν σου τὸν θαυμαστόν, Νικόλαε μάκαρ, ὡς προπύργιον ὀχυρόν, προσφεύγομεν τούτῳ, ἐν νόσοις καὶ κινδύνοις, καὶ ἐπηρείας πάσης ἀπολυτρούμεθα.

Μέγιστος ὑπάρχεις ἡμῶν φρουρός, φύλαξ καὶ προστάτης, ἀντιλήπτωρ καὶ βοηθός, λιμοῦ καθαιρέτης, Νικόλαε τρισμάκαρ· διὸ σὺν Γρηγορίῳ ὕμνοις γεραίρομεν.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεόν, τῶν σοί προστρεχόντων, τὰ αἰτήματα ἐκπληροῖς, τὰ πρὸς σωτηρίαν δυὰς ἱερωτάτη, Νικόλαε καὶ θεῖε σοφὲ Γρηγόριε.

Φρουρεῖ τὴν σὴν ποίμνην ἱερουργέ, Γρηγόριε μάκαρ, τὴν τιμῶσάν σε εὐλαβῶς· ἥν πολλοῖς καμάτοις, ἀνήγειρας εἰς δόξαν, Χριστοῦ τοῦ Ζωοδότου· διὸ τιμῶμέν σε.

Χαίροις μοναζόντων ἡ καλλονή, ἡσυχίας λύχνος, τῶν ἐν Ἄθῳ ὑπογραμμός· χαίροις ὁ δομήτωρ, ἐπωνύμου μονῆς σου, ἥν φρούρει σαῖς πρεσβείαις σοφὲ Γρηγόριε.

Δέχου τὰς αἰτήσεις Παμβασιλεῦ, τῶν Σῶν θεραπόντων, Νικολάου καὶ τοῦ σοφοῦ, θείου Γρηγορίου, καὶ τὴν μονήν Σου ταύτην, ἀπήμονα συντηρεῖ, ὅπως δοξάζῃ Σε.

Ἔχεις παῤῥησίαν πρὸς τὸν Θεόν, ὡς δεκτὴν θυσίαν, ἐνεγκοῦσαν θεοπρεπῶς, ἄσκησιν καὶ οἴμοι, σεμνὴ Ἀναστασία, Αὐτὸν οὖν ἐκδυσώπει ὑπὲρ τῶν δούλων σου.

Πέτρον, Παῦλον, Μᾶρκον σὺν τῷ Λουκᾷ, Φίλιππον, Ματθαῖον, Ἰωάννην, Σίμωνα καὶ Θωμάν, τὸν κλεινὸν Ἀνδρέαν σὺν θείῳ Ἰακώβῳ, καὶ τὸν Βαρθολομαῖον ὕμνοις τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἰς τὸν ἀσπασμόν. Ἦχος β΄. Πάντων προστατεύεις.

Πάντες οἱ ἐκ νόσων χαλεπῶν, καὶ κινδύνων ἄλλων παντοίων, δεινῶς θλιβόμενοι νῦν, ἔνθα τὰ ἰάματα ἐκ θειοτάτου ναοῦ, Νικολάου ἐκβλύζουσιν, ὡς ῥεῖθρα νειλῷα, σπεύδοντες προσπέσωμεν γονυκλινῶς ἐν κλαυθμῷ, ῥῦσαι ἐκβοῶντες σοὺς δούλους, σὺν τῷ Γρηγορίῳ ἐκ νόσων, καὶ παντοίων θλίψεων Νικόλαε.

Ἕτερον, ὅμοιον.

Δεῦτε ἀσπασώμεθα πιστῶς, καὶ μετ᾽ εὐλαβείας καὶ πόθου, γονυκλινῶς ἀδελφοί, εἰκόνα τὴν πάντιμον τοῦ Νικολάου σεπτῶς, Γρηγορίου σὺν ἅμα τε, μονῆς τῶν ἐφόρων, χάριν ἀρυόμενοι τοῦ θείου Πνεύματος, κράζοντες αὐτοῖς μετὰ φόβου, φθάσατε λυτρώσατε πάντας, τοὺς προσκαλουμένους ὑμᾶς Ἅγιοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, ὦ Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

